eul_wid: cqc-ad

*Παιάνας (Ἀνώνυμος, Αἰῶνος Ε΄π.Χ.)* · Paean Collection Anonymous

# Erythraean Paean to Aesculapius

*Ἐρυθραῖος Παιὰν πρὸς Ἀσκληπιόν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

[Παιᾶνα κλυτό]μητιν ἀείσατε
[κοῦροι Λατοΐδαν Ἕκ]ατον,
[para]ἰὲ Παιάν,
ὃς μέγα χάρ[μα βροτοῖσ]ιν ἐγείνατο
μιχθεὶς ἐμ φι[λότητι Κορ]ωνίδι
ἐν γᾶι τᾶι Φλεγυείαι,
ἰὴ Παιάν, Ἀσκληπιὸν
δαίμονα κλεινό[τατ]ον,
[para]ἰὲ Παιάν,
[Το]ῦ δὲ καὶ ἐξεγένοντο Μαχάων
καὶ Πο[δα]λείριος ἠδ’ ’Ιασώ,
[para]ἰὲ Παιάν,
Αἴγλ[α τ’] ἐοῶπις Πανάκειά τε
’Ηπιόνας παῖδες σὺν ἀγακλυτῶι
ἐοαγεῖ ῾Υγιείαι—
ἰὴ Παιάν, Ἀσκληπιὸν
δαίμονα κλεινότατον,
[para]ἰὲ Παιάν,
Χαῖρέ μοι, ἵλαος δ’ ἐπινίσεο
τὰν ἐμὰν πόλιν εὐρύχορον,
[para]ἰὲ Παιάν,
δὸς δ’ ἡμᾶς χαίροντας ὁρᾶν φάος
ἀελίου δοκίμους σὺν ἀγακλυτῶι
ἐοαγεῖ ῾Υγιείαι—
ἰὴ Παιάν, Ἀσκληπιὸν

δαίμονα κλεινότατον,
ἰὲ Παιάν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org